ΑΓ. Ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
Ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην.
Ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
Χρὴ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα
Ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
Αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα,
Μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.
Μν. Οὐκοῦν κελητίζεις, ὅτ' ἂν Φαίδραν ποιῇς.
Αγ. Ἀνδρεῖα δ' ἂν ποιῇ τις ἐν τῷ σώματι
Ἔνεσθ' ὑπάρχον τοῦθ', ἃ δ' οὐ κεκτήμεθα,
Μίμησις ἤδη ταῦτα συνθηρεύεται.
Μν. Ὅτ' ἂν σατύρους τοίνυν ποιῇς καλεῖν ἐμὲ
Ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.
ΑΓ. Ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
Ἀγρεῖον ὄντα καὶ δασύν. σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος κ' Ἀνακρέων ὁ Τήϊος,
Κ' Ἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμησαν,
Ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς.
Καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
Αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπείχετο·
Διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ καλὰ ἦν τὰ δράματα.
Ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.
Μν. Ταῦτ' ἄρ' ὁ Φιλοκλῆς αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ.
Ὁ δ' αὖ Ξενοκλῆς ὢν κακὸς κακῶς ποιεῖ.
Ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.

A AG. *O senex senex, inuidiæ quidem vituperium*
*Audiui, dolorem autem & molestiam tibi non præbui:*
*Ego verò vestem simul cum sententia gesto.*
*Oportet poetam virum ad fabulas*
B *Quas oportet facere & repræsentare, ad has mores habere.*
*Statim muliebres si fecerit aliquis fabulas,*
*Participationem oportet morum corpus habere.*
MN. *Igitur equo veheris, & eũ agitas, cũ Phædram feceris.*
AG. *Viriles autem fabulas si fecerit aliquis, in corpore*
*Inest existens hoc: quæ verò non possidemus,*
C *Imitatio iam hæc conquirit.*
MN. *Cum Satyros igitur repræsentaris, voca me,*
*Vt adiuuem te à tergo erectus in Venerem ego.*
AG. *Præterea inscita res est, poetam videre*
*Agrestem existentem, & villosum. cõsidera verò quòd*
*Ibicus ille, & Anacreon Teius,*
D *Et Alcæus, qui circa musicam & cõcentum versati sunt,*
*Muliebres mitras gestabántque, & mouebant se Ionica,*
*Et Phrynichus: hunc enim quidem audisti,*
*Ipseq; pulcher erat, & pulchrè induebatur.*
*Ob id igitur ipsius & pulchra erant poemata.*
*Similia enim facere necesse est naturæ.*
MN. *Propterea igitur Philocles turpis existens, turpiter facit:*
E *Et rursus Zenocles existens malus, male facit:*
*Et rursus Theognis frigidus existens, frigidè facit.*

BOVRDINVS. Ὦ πρέσβυ.] λέγει ὁ Ἀγάθων, ἐγὼ δή, ὦ πρέσβυ, ἐπυθόμην τοῦ ψόγου σου, ἀλλὰ οὐδεμίαν ἄλγησιν οὐδὲ δυσπάθειαν τοῦτο παρέσχον. καὶ γὰρ ἐγὼ ἐνδύομαι τὴν ἐσθῆτα ἀξιοπρεπῆ οὖσαν τῷ ὑποκειμένῳ δράματι. Ἅμα γνώμῃ φορῶ ἐσθῆτα.] τουτέστιν, ἁρμόττουσαν τῇ γνώμῃ. Ἃ δεῖ ποιεῖν.] δηλονότι ἀξιοπρεπῶς καὶ ὡς δεῖ ἀξίως εὐαρμόστως τε προσφέρεσθαι πρὸς τὰ δράματα καὶ τοὺς τρόπους ἑαυτοῦ σχήματά τε πάντα ἐναρμόττειν ὑποτυποῦντα πρὸς τὰ ὑποκείμενα δράματα. Αὐτίκα.] τουτέστιν, παραδείγματος ἕνεκα. εἰώθασι γὰρ οἱ ἀττικοὶ τούτῳ τῷ ἐπιρρήματι χρῆσθαι ἐπὶ τούτοις ἐφ' οἷς προθυμίαν τιν' ἀποδείξεως ποιεῖσθαι βουλόμεθα τοῦ ἀξιώματος προτεθέντος, ἢν τις ποιῇ γοῦν φησὶν τὰ δράματα γυναικεῖα, δεῖ τὸ σῶμα τοῦ ποιοῦντος ἔχειν μετουσίαν, καὶ μετέχειν, μετεῖναί τε τῶν τρόπων γυναικείων, καὶ ὁμοίως δὴ ἀνδρεῖα δράματα ποιοῦντα μετεῖναι τρόπων ἀνδρείων. Κελητίζεις.] κέλητα ἐλαύνεις, τουτέστιν ἵππον. καὶ γὰρ κέλης σημαίνει τὸν μόνον ἵππον καὶ ἐπὶ τούτου φερόμενον τὸν σελλάειον γυμνόν, ὡς καὶ λέγει Ὅμηρος, ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς. κέλης δὲ σημαίνει καὶ τὸ πλοῖον μικρὸν ἀπὸ μεταφορᾶς τοῦ κέλητος ἵππου, ᾧ εἷς ἀνὴρ ἐπικάθηται. αὐτὴ δὲ γνώμη ἐστί, φησὶ Μνησίλοχος, ἐπειδὴ χρὴ τὸν τὰ γυναικεῖα δράματα ποιοῦντα γυναικείων τρόπων μετέχειν, σὺ δή, ὦ Ἀγάθων, ὅτε τὸ Φαίδρας δρᾶμα ποιεῖς τῆς ἐλαφρᾶς γυναικός, καὶ εὐμεταχειρίστου κελητίζεις, κέλητα ἐλαύνεις, ὥστε μιμεῖσθαι ἐκείνης ἐλαφρότητα, ἰσχνότητα, καὶ εὐμεταχειριστίαν. Ἃ δ' οὐ κεκτήμεθα.] ἃ δή, λέγει ὁ Ἀγάθων, οὐκ ἔχομεν ἐνυπάρχοντα τῇ φύσει, οὐδὲ πεφύκαμεν ἔχειν, ἡ μίμησις τεχνικὴ καὶ παρὰ φύσιν. Συνθηρεύεται.] τουτέστιν, ἐπάγει, ἐπιφέρει, καὶ ἔξωθεν συλλέγει διὰ τέχνης. Σατύρους.] τοὺς χορευτὰς εὐπρεπές τι καὶ ἀφροδισιαστικὸν ἐν τῷ χορεύειν σημαίνοντας. ὅθεν καὶ σατύρειον λέγεται πόα συνεργὸς πρὸς τὰς ἀφροδισίας ὁρμάς. Συμποιῶ σε.] συνουσιάζων σοι καὶ πελαζόμενος μιμῶμαι, καὶ βοηθῶ πρὸς τὸ μιμεῖσθαι τοὺς σατύρους. Ἄμουσον.] ἀπρεπὲς καὶ ἀνάξιον τῶν μουσῶν. Δασύν.] παχύδερμον καὶ πυκνόσαρκον. ἐκείνη γὰρ παχυδερμία καὶ ἀγρία σώματος διάθεσις ἀντίκειται, καὶ ἀναρμοστεῖ τῇ μαλακίᾳ πρεπούσῃ τοῖς φιλομούσοις ποιηταῖς, καὶ γὰρ αἱ μοῦσαι ἀεὶ ἡδεῖαι καὶ μαλακαὶ ποιοῦνται εἶναι. Ἴβυκος.] ἦν τοῦ Φυτίου παῖς. οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου, οἱ δὲ Κερδάντος γένει Ῥηγῖνος ἐκ τῆς ἑαυτοῦ πατρί-